Προσθῆκαι εἰς τὰς σημειώσεις.

Σελὶς 20, στήλη 2, § 5.

Ὁ Χαλκοκονδύλης ἕνα υἱὸν τοῦ Ἰωάννου Καστριώτου ἀναφέρει, τὸν ἡμέτερον Γεώργιον. Ἰδοὺ τὸ περὶ τούτου χωρίον· « Μεταξὺ μέν τοι τῆς Ἠπείρου καὶ αὐτοῦ τῆς χώρας πόλεις τε ἔνεισιν αὐτῶν τε τῶν Οὐενετῶν καὶ ἡ τοῦ Ἰβάνεω χώρα τοῦ Καστριώτου, μετὰ δὲ ταύτην ἡ τοῦ Κομνηνοῦ χώρα (ὅρα τὴν ἀπὸ τῆς παρούσης τετάρτην σημείωσιν) τὰ πολλὰ παράλιος οὖσα· ἐπὶ μεσόγαιον μέν τοι ἐς βραχύ τι παρατείνει ἐπὶ τὴν περίοικον τῆς Ἀργυροπολίχνης, αὐτοῦ ταύτῃ ᾠκισμένης, ἐν ᾗ ὁ τῆς χώρας ὕπαρχος διατρίβων τήν τε Ἰβάνεω χώραν καὶ Κομνηναίων ἐληΐζετο. Τούτων μέν τοι ὅ τε Ἰβάνης ἐπὶ τὰς θύρας ἰὼν τοῦ βασιλέως (Μουράτου) ἐστρατεύετο σὺν τῷ βασιλεῖ, ᾗ ἂν ὑφηγεῖτο τὰ βασιλέως στρατεύματα· καὶ Ἀριανίτης δὲ ὁ Κομνηνὸς, ὡς ἀπῆν καὶ αὐτῷ ἡ πατρῴα ἀρχὴ ὑπὸ βασιλέως, ἀφικόμενος ἐς τὰς θύρας τὴν δίαιταν εἶχε παρὰ βασιλέως. Ὕστερον δὲ τελευτήσαντος Ἰβάνεω τοῦ Καστριώτου τόν τε παῖδα αὐτοῦ λαβὼν ἐς τὰ βασίλεια καὶ τὴν χώραν ὑφ᾽ αὐτῷ ποιησάμενος εἶχε ». Χαλκ. βιβ. Ε΄. σελ. 249.

Σελὶς 27, στήλη 1, § 1.

Τὴν Κρόϊαν Κραύην ὀνομάζει ὁ Χαλκοκονδύλης, « πόλιν προέχουσαν τῶν ἐν τῇ Ἀλβανῶν χώρᾳ· οἰκεῖται δὲ ἐν ὀχυρῷ πάνυ ». Βιβ. Ζ΄. σελ. 251.

Σελὶς 28, στήλη 2, § 1.

Τὸ Σβετιγράδιον Σφετίαν πόλιν ὀνομάζει ὁ Χαλκοκονδύλης. Βιβ. Ζ΄. σελ. 351.

Σελὶς 30, στήλη 2, § 1 καὶ 2.

Τὸν Ἀριανίτην Κομνηνὸν γράφει ὁ ἡμέτερος συγγραφεὺς Ἀριαμνήτην Τόπιαν Κομνηνόν· ἐκ τοῦ πρώτου δὲ τῶν ἐπιθέτων ἀπατηθεὶς καὶ νομίσας ὅτι εἶναι ἄλλος ἢ ὁ Ἀριανίτης Κομνηνὸς, παρεδέχθην κἀγὼ τὴν ἐσφαλμένην γραφήν. Μελετήσας ὅμως μετὰ ταῦτα προσεκτικώτερα τὸν Χαλκοκονδύλην ἐπείσθην ὅτι εἶναι ὁ αὐτός· ὅπου λοιπὸν ἀπαντήσῃ ὁ ἀναγνώστης τὸ ὄνομα Ἀριαμνήτης ἢ Ἀῤῥιανήτης, παρακαλῶ νὰ διορθώσῃ αὐτὸ, ὡς ἀνωτέρω, κατὰ τὸν βυζαντινὸν ἱστορικόν. Φαίνεται δὲ ἐξ ὅσων λέγει οὗτος ὅτι ὁ Ἀριανίτης ἦν πολὺς τὴν ἀξίαν· ἰδοὺ τί γράφει περὶ αὐτοῦ· « Μετὰ δὲ ταῦτα οὐ πολὺν χρόνον, ὡς διατρίβων Ἀριανίτης ἱκέτης ἐγένετο ἀπὸ τῶν θυρῶν τυχεῖν ἀγαθοῦ τινος πρὸς τοῦ βασιλέως, λόγους τε δοὺς ἐπιπέμψαι ἐπὶ τοὺς τῆς χώρας αὐτοῦ, καὶ ὑπισχνουμένων αὐτῷ ἀπόστασιν, ἣν ἀφίκηται ἐπ᾽ αὐτοὺς ἀποδιδράσκει τε ἀπὸ τῶν θυρῶν, καὶ κατιὼν ἐπὶ τὴν πατρῴαν ἀρχὴν συντίθεται τοῖς βελτίοσι τῆς χώρας· καὶ ὑποδεχομένων ἀσμένως ἀπέστησαν ἀπὸ βασιλέως, καὶ τούς γε ἄρχοντας τῆς χώρας Τούρκους ἀνελόντες ἐπέδραμον τὴν βασιλέως χώραν καὶ ἦγον καὶ ἔφερον, χώραν τε ἐρυμνὴν κατέχοντες αὐτοὶ καὶ ὀρεινὴν τὴν σύμπασαν καὶ τραχεῖαν. Ὡς μὲν οὖν ταῦτα ἠγγέλλετο βασιλεῖ, ἔπεμπεν Ἀλίην τὸν Βρενέζεω, στρατηγὸν ἀποδείξας καὶ παραδοὺς αὐτῷ στράτευμα, ὅσον τε παρὰ Ἀξιὸν ποταμὸν καὶ τῆς Ἀργυροπολίχνης, καὶ ἱπποδρόμους, ὅσοι τήνδε τὴν χώραν ἐνοικοῦσιν, ἐκέλευεν ἐπιόντα τήν τε χώραν αὐτῷ τὴν Ἀλβανῶν καταστρέψασθαι, καὶ ἀνδραποδισάμενον ἥκειν αὐτῷ ἄγοντα τὸν Κομνηνοῦ παῖδα. Οὗτος μὲν οὖν λαβὼν τὸν στρατὸν ἅπαντα ἐσέβαλεν ἐς τὴν χώραν, καὶ πεζὸν ἅμα εὑράμενος οὐκ ὀλίγον· ὡς δὲ ἐσέβαλον, ἐδῄουν τε τὴν χώραν καὶ ἐνεπίμπρων οἰκίας τε καὶ ἀγροὺς, οὐδενὸς φειδόμενοι. Ὁ μέντοι Ἀριανίτης συναγαγὼν τοὺς τῆς χώρας ἱππέας τε καὶ πεζοὺς καὶ ἀφικόμενος καταλαμβάνει τὰ ἄκρα, ᾗ ἔμελλεν ἀναζεύξας Ἀλίης ὁ τοῦ Βρενέζεω ἐξελαύνειν. Καὶ ὡς ἐπειρῶντο μετὰ ταῦτα οἱ τοῦ Ἀλίεω διελθεῖν, οὐκ ἠδύναντο ἐνισταμένων τῶν ταύτῃ μετὰ Ἀριανίτου καὶ οὐκ ἐπιτρεπόντων διεξιέναι. Ἐνταῦθα οἱ Τοῦρκοι ἄλλοι μὲν ὡς ἀπελήφθησαν ἐν τῇ χώρᾳ, ἄλλοι δὲ κατὰ τὴν χώραν ἐτράποντο ὅποι ἑκάστῳ προυχώρει διασώζεσθαι. Τούτων οἱ πλεῖστοι διεφθάρησαν ὑπὸ τῶν Ἀλβανῶν. οἱ δὲ ἄλλοι ἑάλωσαν παριόντες. Οἱ δὲ σὺν τῷ Ἀλίῃ ἀποτραπόμενοι ταύτην τὴν πορείαν πεδινωτέραν ἐποιήσαντο καὶ ἐπιμήκη, καὶ ἐξελθόντες ἐς τὴν Ἤπειρον τὴν κατὰ Κέρκυραν ᾠκημένην ἐκ πολλῶν ἀπενόστησαν διαφυγόντες μὴ ἀπολλυσθαι. Ἐνταῦθα δὴ ἀνείλετο δόξαν περιφανῆ Ἀριανίτης ὁ Κομνηνοῦ, ἀποδειξάμενος ἔργα λόγου ἄξια καὶ τὸ ἐντεῦθεν εὐδοκιμῶν ». Βιβ. Ε΄, σελ. 249—251.

Σελὶς 46, στήλη 1, §. 1.

Ἰδοὺ πῶς διηγεῖται ὁ Χαλκοκονδύλης τὰ τῆς μάχης ταύτης· « Καὶ βασιλεὺς τοῦ ἐπιγινομένου θέρους ἐστρατεύετο ἐπὶ Σκεντέρη τὸν Ἰβάνεω παῖδα, ὃς παῖς ὢν ἐς τὰς θύρας ἀφικόμενος τοῦ βασιλέως καὶ παιδικὰ αὐτοῦ γενόμενος, ἀπέδρα ἐς τὴν πατρῴαν αὐτοῦ χώραν καὶ ἀγόμενος γυναῖκα θυγατέρα τοῦ Ἀριανίτου, ἐκ τοῦ ἐμφανοῦς ἐπολέμουν τῷ βασιλεῖ, καὶ οὔτε φόρον ἀπῆγαγον τῷ βασιλεῖ, οὔτε αὐτοὶ ἐς τὰς θύρας ἵεντο οὔτε πείθεσθαι ἤθελον. Διὰ ταῦτα συναγείρας ἅπαντα τόν τε Ἀσίας καὶ Εὐρώπης αὐτῷ στρατὸν ἤλαυνεν ἐπὶ τὴν Ἰβάνεω χώραν· καὶ ἐπεί τε ἐσέβαλεν ἐς τὴν χώραν, ἐδῄου τε τὰ στρατεύματα διαπέμπων ὅποι παρείκοι, καὶ ἐνεπίμπρα τάς τε κώμας καὶ τοὺς ἀγροὺς, καὶ τὰ λήϊα ἐκαίοντο ὑπὸ τοῦ στρατοῦ καὶ περιεφθείροντο τὰ ἐκεῖσε πάντα. Σκενδέρης μὲν οὖν ἐπὶ τὴν ἐς τὸν Ἰόνιον παράλιον χώραν τῶν Οὐενετῶν ὑπεξέθετο, αὐτός τε καὶ οἱ Ἀλβανῶν πρῶτοι, τάς τε γυναῖκας καὶ παῖδας· αὐτοὶ δὲ περιϊόντες ἄλλοτε ἄλλῃ τῆς χώρας διήρχοντο, εἴ του δέοιντο αἱ πόλεις αὐτῶν. Καὶ οὗτοι μὲν ἀνὰ τὸ ὄρος τὸ ὑπὲρ τὴν χώραν αὐτῶν ἄχρι τοῦ Ἰονίου διατείνον διέτριβον, καραδοκοῦντες ὅποι σφίσι τὰ πράγματα ἀποβήσεται· Ἀμουράτης δὲ ἐπελαύνων πρῶτον μὲν τὴν Σφετίαν πόλιν ἐπολιόρκει. Καὶ λόγον μὲν προσέφερεν ὡς παραδοῖέν τε αὐτὴν καὶ αὐτοὶ ἀπίοιεν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος· οἱ δὲ οὐκ ἐπείθοντο· μετὰ δὲ ταῦτα προσέβαλε συν τοῖς νεήλυσι, καὶ εἷλε τὴν πόλιν κατὰ κράτος καὶ ἐξηνδραποδίσατο, τούς τε ἄνδρας σύμπαντα. διεχρήσατο. Μετὰ δὲ ἐπιὼν ἐπὶ τὴν Γετίην ὁμολογίᾳ τε παρεστήσατο, καὶ τοὺς ἐν τῇ πόλει ἀνδραποδισάμενος ἐπῆγε τὸν στρατὸν ἐπὶ τὴν Κρούην, πόλιν προέχουσαν τῶν ἐν τῇ Ἀλβανῶν χώρᾳ· οἰκεῖται δὲ ἐν ὀχυρῷ πάνυ. Ταύτην μὲν οὖν προσκαθεζόμενος ἐπολιόρκει, καὶ τηλεβόλοις τε ἔτυπτε τὸ τεῖχος, καὶ κατέβαλε μέρος οὐκ ὀλίγον. Μετὰ δὲ ταῦτα προσέβαλε σὺν τοῖς νεήλυσιν ὡς ἐξαιρήσων τὴν πόλιν καὶ ὡς οὐκ ἠδυνήθη ἑλεῖν, ἀπήγαγε τὸν στρατόν· ἤδη γὰρ ὀψὲ ἦν τοῦ ἐνιαυτοῦ, καὶ χειμὼν ἐπιγενόμενος ἐπίεζε τὸν στρατόν. » Βιβ. Ζ΄. 350—351.

Σελὶς 48, στήλη 2, § 2.

Ἰδοὺ κατὰ Χαλκοκονδύλην τὰ περὶ τῆς δευτέρας ταύτης ἐκστρατείας τοῦ Μουράτου. « Ἐστρατεύετο αὖθις ἐπὶ Σκενδέρην τὸν Ἰβάνεω καὶ ἐπὶ τὴν ταύτῃ κατὰ τὸν Ἰόνιον Ἀλβανῶν χώραν, καὶ ἐπῄει πολλῷ θυμῷ ὡς ἐξελῶν τε τὴν Κρούην καὶ αὐτὸν Σκενδέρην ἐξαιτησόμενος τοὺς Οὐενετοὺς καὶ ἢν μὴ ἀποδοῖεν αὐτὸν, ὡς πολιορκήσων τὴν πόλιν ἐς ἣν αὐτὸ καταφυγὼν ἐσῄει. Ἐπεὶ δὲ εἰσέβαλεν, ἐπορεύετο ἰθὺ ἐπὶ τὴν Κρούην, καὶ τήν τε χώραν, ὅση ὑπελείπετο τὴν ἀρχὴν αὐτῷ ἀσινὴς, ἐπέδραμέ τε αὐτοῦ τὰ στρατεύματα, καὶ ἐπέκαον πῦρ ἐνιέντες, ὅτῳ ἂν αὐτοῖς περιτύχοιεν. Ἐπέδραμε δὲ καὶ ἄχρι τοῦ ποταμοῦ τοῦ . . . τὰ στρατεύματα· τὴν δὲ ἐπέκεινα τοῦ ποταμοῦ χώραν οὐχ οἷά τε ἦν ληΐζεσθαι διὰ τὸ ἄβατον εἶναι πάντῃ τοῖς βασιλέως ἱπποδρόμοις. Καὶ οὗτοι μὲν, τάς τε γυναῖκας καὶ παῖδας ὑπεκθέμενοι ἐς τὰ ἐχυρὰ τῶν Οὐενετῶν, συνελέγοντο ἐς τὸ ὄρος τὸ ὑπὲρ τὴν Κρούην πόλιν αὐτῶν· ἐνταῦθα δὲ ὑπεξαγαγὼν τὰς γυναῖκας καὶ τὰ παιδία κατέθετο ἐς τὰς τῶν Οὐενετῶν πόλεις, τοὺς δὲ ἄνδρας κατέλιπεν ἐν τῇ πόλει ἀμυνουμένους καὶ τὰ τείχη φυλάξοντας, καὶ τούτους ἐπιλεξάμενος τοὺς ἐθέλοντας αὐτοὺς ὑποστῆναι τὸν ἀγῶνα· Ἀμουράτης μὲν οὖν τάς τε τηλεβόλους παρεσκευάζετο καθεζόμενος ὡς τὸ τεῖχος καθαιρήσων, καὶ παραμένων ἅμα σὺν τοῖς νεήλυσιν ἐς τὴν πόλιν· ἐπεὶ δὲ αὐτῷ τὰ πάντα παρεσκεύαστο, ἔτυπτε τὸ τεῖχος τηλεβόλοις καὶ κατέβαλε μέρος πολύ. Σκενδέρης δὲ ἀπὸ τοῦ ὄρους πυρά τε ἔκαυσεν, ἐπιδεικνύμενος τοῖς ἐν τῇ πόλει,

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ